UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## (Carmina) Pindari Carmina

### Pindarus

### Oxonii, (1935)

Pythia VI

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1916

Visual Library

## *PYTHIA VI*

## ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΡΜΑΤΙ

στρ. α′ Ἀκούσατ᾽· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
χθονὸς ἐς νάϊον προσοιχόμενοι·
Πυθιόνικος ἔνθ᾽ ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ᾽ Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

στρ. β′ τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ᾽ ἄνεμος ἐς μυχοὺς
ἁλὸς ἄξοισι παμφόρῳ χεράδει
τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.

στρ. γ′ σύ τοι σχεθών νιν ἐπὶ δεξιὰ χειρὸς ὀρθὰν
ἄγεις ἐφημοσύναν,
τά ποτ᾽ ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,

1 ἢ Mosch. 3 ἀναπολήσομεν E. Schmid 4 νάϊον Hermann : ναὸν codd. 10 οὔτε V : οὐ BDEG 12 ἄνεμος BDGV : ἄνεμοι E 13 ἄξει Tricl. χεράδει Beck : χεράδι vett. 14 τυπτόμενον Dawes : τυπτόμενοι BDEG : τυπτόμενος V 15 κοινᾷ V 18 κρισαίαισιν ἐνὶ πτυχαῖσιν vett., corr. Mosch. ἀπαγγέλλει BEG 19 νῦν B ἐπὶ δεξιὰ V : ἐπιδέξια BDEG 21 τά E. Schmid : τό Tricl. : τάν vett. μεγαλοσθενῆ Bergk 23 μάλιστα δὲ V 24 βαρυοπᾶν E : βαρυόπᾶν B

θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

στρ. δ' ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δοναθεῖσα φρὴν βόασε παῖδα ὄν,

στρ. ε' χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
μένων δ' ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

στρ. ϝ' πάτρῳ τ' ἐπερχόμενος ἀγλαΐαν ἄπασαν.
νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων·

25 θεὸν B 28 ἔγεντο Tricl.: ἐγένετο vett. 30 ἐναρήμβροτον E 31 ἀναμείναις Boeckh: ἀναμείνας Tricl.: ἀμμείνας vett. 32 νεστόρειον Byz.: νεστόρεον vett. 33 δαχθείς B 36 δοναθεῖσα Tricl.: δονήθεῖσα vett. 38 δ' ὁ BEV: δὲ DG: δ' secl. Bergk 40 ἐδόκησέν τε Hermann: ἐδόκησέ τε codd.: ἐδόκησ' ἔν τε Christ 41 ὁπλοτέροισι D τελέσαις B: τελέσσαις $V^{ac}$: τελέσσας $DEGV^{pc}$ 43 παρήκει DG 44 τῶν νῦν δὲ recc.: τῶν δὲ νῦν vett. 46 ἔδειξεν ἅπασαν codd., corr. Bergk 47 δὲ om. $B^1$ πλούτῳ $E^{ac}$ ἄγειν D 48 διέπων $E^1$

τίν τ', Ἐλέλιχθον, ἄρχεις ὃς ἱππιᾶν ἐσόδων,
μάλα ἁδόντι νόῳ, Ποσειδάν, προσέχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

50 τήν D   ἄρχεις scripsi : ὀργαῖς πάσαις codd.   ὅσον B   ἱππιᾶν ἐσόδων Schroeder : ἱππείαν ἔσοδον codd.   51 προσέχεται E. Schmid : προσέρχεται codd.